# Landesbibliothek Oldenburg

**Digitalisierung von Drucken**


## Gottlieb Christophori Harles Anthologia Graeca Poetica

**Harless, Adolf Gottlieb Christoph**


**Baruthi, MDCCXCII.**

**VD18 13527622**


Ariphronis Scolion.


**urn:nbn:de:gbv:45:1-18225**

Visual Library

Ἀελίου χήρωσεν αὐγᾶς.
Τοι γὰρ ἀοίδιμον ἔργοις
Ἀθάνατόν τέ μιν αὐξήσουσι Μοῦσαι
Μναμοσύνας θύγατρες,
Διὸς Ξενίου σέβας αὔξουσαι,
Φιλίας τε γέρας βεβαίου.

---

## Ἀρίφρονος Σικυωνίου σκόλιον *).

Ὑγίεια, πρεσβίστα μακάρων,
μετὰ σεῦ ναίοιμι
τὸ λειπόμενον βιοτᾶς.
σὺ δ᾽ μοὶ πρόφρων σύνοικος εἴης.
εἰ γάρ τις ἢ πλούτου χάρις, ἢ τεκέων,
τᾶς ἰσοδαίμονός τ᾽ ἀνθρώποις.
βασιληΐδος ἀρχᾶς, ἢ πόθων,
οὓς κρυφίοις Ἀφροδίτης ἄρκυσι θηρεύομεν·
ἢ εἴ τις ἄλλα θεόθεν ἀνθρώποισι τέρψις,
ἢ πόνων ἀμπνοὰ πέφανται,
μετὰ σεῖο, μάκαιρ᾽ Ὑγίεια,
τέθηλε πάντα, καὶ λάμπει Χαρίτων ἔαρ,
σέθεν δὲ χωρὶς οὔ τις εὐδαίμων.



*) De *Ariphrone* v. *Fabric.* B. Gr. vol. II. pag. 11. Carmen hoc seruauit *Athen.* lib. XV. pag. 702. *Brunck* recepit in Anal. etc. I. p. 159. adiecit editioni suae Anacreontis (a. 1786.) pag. 107. vnde typis repetendum curaui: dedit quoque atque docte explicuit *Cludius* in Biblioth. etc. part. III. pag. 46. sqq.

## Ὑβρίου Κρῆτου σκόλιον *).

Ἔστι μοι πλοῦτος, μέγα δόρυ, καὶ ξίφος,
Καὶ τὸ καλὸν λαισήϊον. πρόβλημα χρωτός.
Τούτῳ γὰρ ἀρῶ, τούτῳ θερίζω, τούτῳ
Πατέω τὸν ἁδὺν οἶνον ἀπ᾽ ἀμπέλω,
Τούτῳ δεσπότας μνοίας κέκλημαι, τοὶ δὲ
Μὴ τολμῶντες ἔχειν δόρυ καὶ τὸ καλὸν λαισήϊον,
Πάντες γόνυ πεπτηότες ἐμοὶ, κυνέοντι
Δεσπόταν, καὶ βασιλέα μέγαν φωνέοντι.

## Καλλιστράτου σκόλιον **).

Ἐν μύρτου κλαδὶ τὸ ξίφος φορήσω,
Ὥσπερ Ἁρμόδιος κ᾽ Ἀριστογείτων,

Ὅτε

*) Ex *Athen.* XV. 15. pag. 685. F. 686. A. et *Brunckii* Anacr. p. 106. eiusque Analectis etc. I. pag. 159. Reddiderunt atque illustrarunt hoc scolion *Koeppen* in Griech. Blumenlese, part. II. pag. 107. et *Cludius* l. c. pag. 54. sqq. — v. 5. δεσπότας μνοίας, *dominus familiae*, seruorum multitudinis. *Hesych.* μνοία, οἰκετεία.

**) Sequuti sumus *Lowth*, in libro praestanti de sacra poesi hebraeorum, ex versione lat. *I. Dan. Michaelis*, part. 1. pag. 17. sq. quaedam corrigentem atque interpretantem, et *Brunck.* in Analect. poet. gr. tom. 1. pag. 155. sq. Hoc scolion, quod seruauit *Athen.* lib. XV. 15. pag. 695. B. inprimis explicuerunt et historiam Harmodii atque Aristogitonis, ab aliis aliter enarratam, vberius exposuerunt cl. *Cludius* in Biblioth. der alten Litterat. u. Kunst, part. 1. pag. 57. sq. qui germanicam, eamque metricam, adiecit versionem, et cl. *Degen* in edit. Anacreontis Altenburg. pag. 190. sq. et pag. 279.

Landesbibliothek Oldenburg